# Μουσαῖος. Ὀρφεύς.

« Ἀθηναῖοι δὲ καὶ ὅσοι παρὰ τούτοις ** ἴσασι Τριπτόλεμον τὸν Κελεοῦ πρῶτον σπεῖραι καρπὸν ἥμερον. ἔπη δὲ ᾄδεται Μουσαίου μέν, εἰ δὴ Μουσαίου η ταῦτα, Τριπτόλεμον παῖδα Ὠκεανοῦ καὶ Γῆς εἶναι, Ὀρφέως δέ, οὐδέ, οὐδὲ ταῦτα Ὀρφέως ἐμοὶ δοκεῖ ὄντα, Εὐβουλῇ η Τριπτολέμῳ Δυσαύλην πατέρα εἶναι . . . » Παυσ. Ἀττικα. Α΄ 14.3.

« ἔστι δὲ ἐν ἀριστερᾷ τῶν προπυλαίων οἴκημα ἔχον γραφάς . . - - - - -
καὶ τὰ μὲν ἐς Μέδουσαν οὐκ εἰμὶ πρόθυμος ἐν τοῖς Ἀττικοῖς σημῆναι· ἔστι δὲ τῶν γραφῶν παρέντι τὸν παῖδα τὸν τὰς ὑδρίας φέροντα καὶ τὸν παλαιστὴν ὃν Τιμαίνετος ἔγραψεν, ἔστι Μουσαῖος. ἐγὼ δὲ ἔπη μὲν ἐπελεξάμην ἐν οἷς ἐστι πέτεσθαι Μουσαῖον ὑπὸ Βορέου δῶρον, δοκεῖν δέ μοι πεποίηκεν αὐτὰ Ὀνομάκριτος καὶ ἔστιν οὐδὲν Μουσαίου βεβαίως ὅτι μὴ μόνον ἐς Δήμητρα ὕμνος Λυκομίδαις. » „ 22.7.

« ἔστι δὲ ἐντὸς τοῦ περιβόλου τοῦ ἀρχαίου τὸ Μουσεῖον ἀπαντικρὺ τῆς ἀκροπόλεως λόφος, ἔνθα Μουσαῖον ᾄδειν καὶ ἀποθανόντα γήρᾳ ταφῆναι λέγουσιν· ὕστερον δὲ η μνῆμα αὐτόθι ἀνδρὶ ᾠκοδομήθη Σύρῳ. » „ 25.8

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Μουσαῖος.·. Ὕμνοι.

Παυσ. « παρὰ ταύτην τὴν Μεσσήνην τὰ ὄργια κομίζων τῶν
Μεσσηνιακά Μεγάλων θεῶν Καύκων ἦλθεν ἐξ Ἐλευσῖνος ὁ Κελαινοῦ τοῦ
Δ. 1. 5. Φλύου. Φλῦον δὲ αὐτὸν Ἀθηναῖοι λέγουσι παῖδα εἶναι Γῆς· ὁ-
μολογεῖ δέ σφισι καὶ ὕμνος Μουσαίου Λυκομίδαις ποιηθεὶς ἐς
Δήμητρα.

Φωκικά. « ἀρχαιότατον δὲ ἀγώνισμα γενέσθαι μνημονεύουσι καὶ
Κ. 7. 2. ἐφ᾽ ᾧ πρῶτον ἆθλα ἔθεσαν, ᾆσαι ὕμνον ἐς τὸν θεόν.

. . . . . . . . .

Ὀρφέα δὲ σεμνολογίᾳ τῇ ἐπὶ τελεταῖς καὶ ὑπὸ φρονήματος
τοῦ ἄλλου καὶ Μουσαῖον τῇ ἐς πάντα μιμήσει τοῦ Ὀρφέως
οὐκ ἐθελῆσαι φασὶν αὐτοὺς ἐπὶ ἀγῶνι μουσικῆς ἐξετά-
ζεσθαι.

„ 9. 11 « τὴν δὲ ἧτταν Ἀθηναῖοι τὴν ἐν Αἰγὸς ποταμοῖς οὐ μετὰ δι-
καίου συμβῆναι σφίσιν ὁμολογοῦσι. προδοθῆναι γὰρ ἐπὶ χρήμα-
σιν ὑπὸ τῶν στρατηγησάντων . . . καὶ ἐς ἀπόδειξιν τοῦ λόγου Σι-
βύλλης παρέχονται τὸν χρησμόν . . . . . . . .
τὰ δὲ ἕτερα Μουσαίου χρησμῶν μνημονεύουσι
καὶ γὰρ Ἀθηναίοισιν ἐπέρχεται ἄγριος ὄμβρος
ἡγεμόνων κακότητι, παραίφασις δέ τις ἔσται
ἥσσης· οὐ λήσουσι πόλιν, τίσουσι δὲ ποινήν.

# Ὀρφικά.

κ Διαβᾶσι δὲ τὸν Κηφισὸν βωμός ἐστιν ἀρχαῖος Μειλιχίου Διός. . . . . . . . . . Παυσ. Αττικ. Α. 37. 4.
ᾠκοδόμηται δὲ κατὰ τὴν ὁδὸν ναὸς οὐ μέγας καλούμενος Κυαμίτου. σαφὲς δὲ οὐδὲν ἔχω λέγειν εἴτε πρῶτος κυάμους ἔσπειρεν οὗτος εἴτε τινὰ ἐπεφήμισαν ἥρωα, ὅτι τῶν κυάμων ἀνενεγκεῖν οὐκ ἔστι σφίσιν ἐς Δήμητρα τὴν εὕρεσιν. ὅστις δὲ ἤδη τελετὴν Ἐλευσῖνι εἶδεν ἢ τὰ καλούμενα Ὀρφικὰ ἐπελέξατο, οἶδεν ὃ λέγω..

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Ορφευς.

« θεων δε Αιγινηται τιμωσιν Εκάτην μάλιστα ϗ τελετην ά-
γουσιν ανα παν έτος Εκάτης, Ορφέα σφίσι τον Θρᾷκα
καταστήσασθαι την τελετην λέγοντες. »

Παυσ. Κορινθιακά (Τροιζηνιακά) Β. 30.2

« Λακεδαιμονίοις δε απαντικρυ της Ολυμπίας Αφρο-
δίτης εστι ναος Κόρης Σωτείρας· ποιησαι δε τον Θρᾷ-
κα Ορφέα λέγουσιν, οι δε Άβαριν αφικόμενον εξ
Υπερβορέων. »

Λακωνικά Γ. 13.2

« Δήμητρα δε Χθονίαν Λακεδαιμόνιοι μεν σέβειν
φασι παραδόντος σφίσιν Ορφέως, δόξῃ δε εμῇ δια το ι-
ερον το εν Ερμιόνῃ καθέστηκε ϗ τούτοις Χθονίαν
νομίζειν Δήμητρα. »

» 14.5

« άκρα δε τη Ταϋγέτου Ταλετον υπερ Βρυσεων ανέχει
ταύτην Ηλίου καλουσιν ιεράν.
Ταλετού δε το μεταξυ ϗ Ευόρα Θήρας ονομάζοντες . .
. . . Δήμητρος επίκλησιν Ελευσινίας εστιν ιερον.
. . . . . ϗ Ορφέως εστιν εν αυτω ξόανον,
Πελασγων ως φασιν έργον. »

» 20.5

Παυσ. Ηλιακων Α. Βιβ. Ε.

« Αγὼν δὲ ἐν τοῖς ἀναθήμασίν ἐστι τοῖς Μικύθου φέρων ἁλτῆρας . . . . . .
πάρα δὲ τοῦ Ἀγῶνος τὴν εἰκόνα Διόνυσος καὶ ὁ Θρᾷξ ἐστιν Ὀρφεὺς καὶ ἄγαλμα Διός, οὗ δὴ καὶ ὀλίγῳ πρότερον ἐποιησάμεθα μνήμην. ταῦτα ἔργα ἐστὶν Ἀργείου Διονυσίου. τεθῆναι δὲ ὑπὸ τοῦ Μικύθου καὶ ἄλλα ὁμοῦ τούτοις λέγεται. Νέρωνα δὲ ἀφελέσθαι φασὶ καὶ ταῦτα. . »

Ηλιακων Β. Βιβ. ς. 20.18

« ἠξίου δὲ οὐδὲν (ὁ) Αἰγύπτιος εἶναι μὲν Ἀμφίονα, εἶναι δὲ καὶ τὸν Θρᾷκα Ὀρφέα μαγεῦσαι δεινόν, καὶ αὐτοῖς ἐπᾴδουσι θηρία τε ἀφικνεῖσθαι τῷ Ὀρφεῖ καὶ Ἀμφίονι ἐς τὰς τοῦ τείχους οἰκοδομίας τὰς πέτρας. »

Βοιωτικα. Βιβ. Θ. 17.7

« τῷ δὲ παρὰ τὸ Ἀμφίονος μνῆμα λίθοις, οἳ κάτωθεν ὑποβέβληνται μηδὲ ἄλλως εἰργασμένοι πρὸς τὸ ἀκριβές, ἐκείνας εἶναι (φασί) τὰς πέτρας αἳ τῇ ᾠδῇ τῇ Ἀμφίονος ἠκολούθησαν. τοιαῦτα δὲ ἕτερα λέγεται καὶ περὶ Ὀρφέως ὡς κιθαρῳδοῦντι ἕποιτο αὐτῷ τὰ θηρία. »



« Λύκιος δὲ Ὠλήν, ὃς καὶ τοὺς ὕμνους τοὺς ἀρχαιοτάτους ἐποίησεν Ἕλλησιν, οὗτος ὁ Ὠλὴν ἐν Εἰλειθυίας ὕμνῳ μητέρα Ἔρωτος τὴν Εἰλείθυιάν φησιν εἶναι. Ὠλῆνος δὲ ὕστερον Πάμφως τε ἔπη καὶ Ὀρφεὺς ἐποίησαν· καί σφισιν ἀμφοτέροις πεποιημένα ἐστὶν ἐς Ἔρωτα, ἵνα ἐπὶ τοῖς δρωμένοις Λυκομίδαι καὶ ταῦτα ᾄδωσιν. » Παυσ. Βοιωτικα. Βιβ. Θ. 27.2.

« Ὀρφεῖ δὲ τῷ Θρᾳκὶ πεποίηται (ἐν Ἑλικῶνι) μὲν παρεστῶσα αὐτῷ Τελετή, πεποίηται δὲ περὶ αὐτὸν λίθου τε καὶ χαλκοῦ θηρία ἀκούοντα ᾄδοντος. πολλὰ μὲν δὴ καὶ ἄλλα πιστεύουσιν οὐκ ὄντα Ἕλληνες καὶ δὴ καὶ Ὀρφέα Καλλιόπης τε εἶναι Μούσης καὶ οὐ τῆς Πιέρου, καὶ οἱ τὰ θηρία ἰέναι πρὸς τὸ μέλος ψυχαγωγούμενα, ἐλθεῖν δὲ καὶ ἐς τὸν Ἅιδην ζῶντα αὐτὸν παρὰ τῶν κάτω θεῶν τὴν γυναῖκα αἰτοῦντα. ὁ δὲ Ὀρφεὺς ἐμοὶ δοκεῖν ὑπερεβάλετο τῶν κόσμῳ τοὺς πρὸ αὐτοῦ καὶ ἐπὶ μέγα ἦλθεν ἰσχύος οἷα πιστευόμενος εὑρηκέναι τελετὰς θεῶν καὶ ἔργων ἀνοσίων καθαρμοὺς νόσων τε ἰάματα καὶ τροπὰς μηνιμάτων θείων. τὰς δὲ γυναῖκάς φασι τῶν Θρᾳκῶν ἐπιβουλεύειν αὐτῷ θάνατον, ὅτι σφῶν τοὺς ἄνδρας ἀκολουθεῖν ἔπεισεν αὐτῷ πλανωμένῳ, φόβῳ δὲ τῶν ἀνδρῶν οὐ τολμᾶν· ὡς δὲ ἐνεφορήσαντο οἴνου, ἐξεργάζονται τὸ τόλμημα, καὶ τοῖς ἀνδράσιν ἀπὸ τούτου καθέστηκε μεθυσκομένους ἐς τὰς μάχας χωρεῖν. εἰσὶ δὲ οἵ φασι » 30.4.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Ὀρφεύς.

κεραυνωθέντα ὑπὸ τοῦ θεοῦ συμβῆναι τελευτὴν τῷ Ὀρφεῖ.
κεραυνωθῆναι δὲ αὐτὸν τῶν λόγων ἕνεκα ὧν ἐδίδα-
σκεν ἐν τοῖς μυστηρίοις οὐ πρότερον ἀκηκοότας ἀν-
θρώπους. ἄλλοις δὲ εἰρημένον ἐστὶν ὡς προαποθα-
νούσης οἱ τῆς γυναικὸς ἐπὶ τὸ Ἄορνον δι' αὐτὴν τὸ ἐν
τῇ Θεσπρωτίδι ἀφίκετο. εἶναι γὰρ πάλαι νεκυομαντεῖ-
ον αὐτόθι. νομίζοντα δέ οἱ ἕπεσθαι τῆς Εὐρυδίκης τὴν
ψυχὴν καὶ ἁμαρτόντα ὡς ἐπεστράφη, αὐτόχειρα αὑ-
τὸν ὑπὸ λύπης αὐτοῦ γενέσθαι. λέγουσι δὲ οἱ Θρᾷκες,
ὅσαι τῶν ἀηδόνων ἔχουσι νεοσσιὰς ἐπὶ τῷ τάφῳ τοῦ Ὀρ-
φέως ταύτας ἥδιον καὶ μεῖζόν τι ᾄδειν. Μακεδόνων
δὲ οἱ χώραν τὴν ὑπὸ τὸ ὄρος τὴν Πιερίαν ἔχοντες
καὶ πόλιν Δῖον, φασὶν ὑπὸ τῶν γυναικῶν γενέσθαι
τὴν τελευτὴν ἐνταῦθα τῷ Ὀρφεῖ. ἰόντι δὲ ἐκ Δίου
τὴν ὑπὸ τὸ ὄρος καὶ στάδια προεληλυθότι εἴκοσι κίων
τέ ἐστιν ἐν δεξιᾷ καὶ ἐπίθημα ἐπὶ τῷ κίονι ὑδρία
λίθου, ἔχει δὲ τὰ ὀστᾶ τοῦ Ὀρφέως ἡ ὑδρία, καθὰ οἱ ἐπιχώ-
ριοι λέγουσι. ῥεῖ δὲ ὁ ποταμὸς Ἑλικών· ἄχρι σταδίων ἑβδο-
μήκοντα πέντε προελθόντι τὸ ῥεῦμα ἀφανίζεται τὸ ἀπὸ τοῦ-
του κατὰ τῆς γῆς· διαλιπὸν δὲ μάλιστα δύο καὶ εἴκοσι στά-
δια ἄνεισι τὸ ὕδωρ αὖθις, καὶ ὄνομα Βαφύρας ἀντὶ
Ἑλικῶνος λαβὼν κάτεισιν ἐς θάλασσαν ναυσίπορος.
τοῦτον οἱ Δῖαι τὸν ποταμὸν ἐπιρρεῖν διὰ παντὸς τῇ
γῇ τὰ ἐξ ἀρχῆς φασι. τὰς γυναῖκας δὲ αἳ τὸν Ὀρ-
φέα ἀπέκτειναν ἐναποκνίζεσθαι οἱ θελῆσαι τὸ αἷμα

καταδῦναί τε εἰσὶ αὐτῷ τὸν ποταμὸν ἐς τὴν γῆν, ἵνα δὴ
μὴ τοῦ φόνου καθάρσια τὸ ὕδωρ παράσχηται. ἤκουσα δὲ
καὶ ἄλλον ἐν Λαρίσῃ λόγον, ὡς ἐν τῷ Ὀλύμπῳ πόλις
οἰκοῖτο Λίβηθρα, ᾗ ἐπὶ Μακεδονίας τέτραπται τὸ ὄ-
ρος καὶ εἶναι οὐ πόρρω τῆς πόλεως τὸ τοῦ Ὀρφέως μνῆ-
μα· ἀφικέσθαι δὲ τοῖς Λιβηθρίοις παρὰ τοῦ Διονύσου
μάντευμα ἐκ Θρᾴκης, ἐπειδὰν ἴδῃ τὰ ὀστᾶ τοῦ Ὀρ-
φέως ἥλιος, τηνικαῦτα ὑπὸ συὸς ἀπολεῖσθαι Λιβηθρίοις
τὴν πόλιν. οἱ μὲν δὴ οὐ πολλὴν φροντίδα ἐποιοῦντο τοῦ χρη-
σμοῦ, οὐδὲ ἄλλο τι θηρίον οὕτω μέγα καὶ ἄλκιμον ἔσε-
σθαι νομίζοντες ὡς ἑλεῖν σφίσι τὴν πόλιν, σῦν δὲ θρα-
σύτητος μετεῖναι μᾶλλον ἢ ἰσχύος. ἐπεὶ δὲ ἐδόκει τῷ θε-
ῷ, συνέβη σφίσι τοιάδε, ποιμὴν περὶ μέσον μάλιστα τὴν
ἡμέραν ἐπικλίνων αὐτὸν πρὸς τοῦ Ὀρφέως τὸν τάφον,
ὁ μὲν ἐκάθευδεν ὁ ποιμήν, ἐπῄει δέ οἱ καὶ καθεύ-
δοντι ἔπη τε ᾄδειν τῶν Ὀρφέως καὶ μέγα καὶ ἡδὺ φω-
νεῖν. οἱ οὖν ἐγγύτατα νέμοντες ἢ καὶ ἀροῦντες ἕκαστοι τὰ
ἔργα ἀπολείποντες ἠθροίζοντο ἐπὶ τοῦ ποιμένος τὴν ἐν τῷ ὕ-
πνῳ ᾠδήν· καί ποτε ὠθοῦντες ἀλλήλους ἢ ἐρίζοντες ὅστις
ἐγγύτατα ἔσται τῷ ποιμένι ἀνατρέπουσι τὸν κίονα, καὶ
κατεάγη τε ἀπ' αὐτοῦ πεσοῦσα ἡ λάρναξ καὶ εἶδεν ἥλι-
ος ὅ τι ἦν τῶν ὀστῶν τοῦ Ὀρφέως λοιπόν. αὐτίκα δὲ ἐν τῇ ἐ-
περχομένῃ νυκτὶ ὅ τε θεὸς κατέχει πολὺ ἐκ τοῦ οὐρανοῦ τὸ
ὕδωρ καὶ ὁ ποταμὸς ὁ Σῦς — τῶν δὲ περὶ τὸν Ὄλυμπον
χειμάρρων καὶ ὁ Σῦς ἐστιν — τότε οὖν οὗτος ὁ ποταμὸς

καθέβαλε μεν τα τείχη Λιβηθρίοις, θεων (δε) ιερα και οίκους ανέτρεψεν ανθρώπων, απέπνιξε δε τους ανθρώπους και τα εν τη πόλει ζώα ομοίως τα πάντα. απολωλυιών δε ήδη Λιβηθρίων, έθος οι εν Δίω Μακεδόνες κατά γε τον λόγον του Λαρισαίου ξένου ες την εαυτών τα οστα κομίζουσι τα Ορφέως· όστις δε περι ποιήσεως επολυπραγμόνησεν ήδη, τους Ορφέως ύμνους οίδεν όντας έκαστόν τε αυτων επι βραχύτατον και το σύμπαν ουκ ες αριθμόν πολυν πεποιημένους· Λυκομίδαι δε ίσασί τε και επάδουσι τοις δρωμένοις. κόσμω μεν δη των επων δευτερεία φέροιντο αν μετά γε Ομήρου τους ύμνους, τιμης δε ες το θείου και ες πλέον εκείνων ήκουσι.»

Φωκικα Βιβ. Ι. 30. 6. Ορφέως εικων εν τη υπο Πολυγνώτου εν τη εν Δελφοις γραφη.

«Αποβλέψαντι δε αύθις ες τα κάτω της γραφης εστιν εφεξης μετα τον Πάτροκλον οία επι λόφου τινος Ορφευς καθεζόμενος, εφάπτεται δε και τη αριστερα κιθάρας, τη δε ετέρα χειρι ιτέας ψαύει· κλώνές εισιν έοικεν είναι της Περσεφόνης, ένθα αίγειροι και ιτέαι δόξη τω Ομήρω πεφύκασιν. Ελληνικόν δε το σχήμά εστι τω Ορφεί, και ούτε η εσθης ούτε επίθημά εστιν επι τη κεφαλη Θράκιον. τω δένδρω δε τη ιτέα κατα το έτερον μέρος προσα-



νακεκλιμένος εστιν αυτη Προμέδων. εισι μεν δη οι νομίζουσι καθάπερ ες ποίησιν επιτεθηναι το Προμέδοντος όνομα υπο του Πολυγνώτου· τοις δε ειρημένον εστιν άνδρα Έλληνα ες τε την άλλην άπασαν γενέσθαι φιλήκοον μουσικην και επι τη ωδη μάλιστα του Ορφέως. κατα τούτο της γραφης Σχεδίος ο Φωκεύσιν ηγησάμενος ες Τροίαν και μετα τούτον Πελίας εστιν εν θρόνω καθεζόμενος, τα γένεια πολιος ομοίως και την κεφαλην, ενορα δε ες τον Ορφέα. ο δε Σχεδίος εγχειρίδιόν τε έχει και άγρωστιν εστεφανωμένος.

# Ορφικα.



« Διαβᾶσι δὲ τον Κηφισον βωμός εστιν αρχαιος Μει- Παυσ.
λιχίου Διος. . . . . . . . . . Αττικα. Α.
ῳκοδόμηται δε κατα την οδον ναος ου μεγας καλου- 37. 4.
μενος Κυαμίτου. σαφες δε ουδεν ἔχω λέγειν ἄτε πρῶ-
τος κυάμους ἔσπειρεν ουτος ἄτε τινα επεφήμισαν ἥρω-
α, ὅτι των κυάμων ανενεγκειν ουκ εστι σφίσιν ες Δή-
μητρα την εύρεσιν. όστις δε ήδη τελετην Ελευσινι ειδεν
η τα καλουμενα Ορφικα επελέξατο, οιδεν ὃ λέγω. »

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Ὀρφεύς.

Παυσανίου
Βοιωτικά IX
XXX.4
Σελ. 279

Ὀρφεῖ δὲ τῷ Θρᾳκὶ πεποίηται μὲν παρεστῶσα αὐτῷ Τελετή, πεποίηται δὲ περὶ αὐτὸν λίθου τε καὶ χαλκοῦ θηρία ἀκούοντα ᾄδοντος. Πολλὰ μὲν [δὴ] καὶ ἄλλα πιστεύουσιν οὐκ ὄντα Ἕλληνες, καὶ δὴ καὶ Ὀρφέα Καλλιόπης τε εἶναι Μούσης καὶ οὐ τῆς Πιέρου, καὶ οἱ τὰ θηρία ἰέναι πρὸς τὸ μέλος ψυχαγωγούμενα, ἐλθεῖν δὲ καὶ ἐς τὸν Ἅιδην ζῶντα αὐτὸν παρὰ τῶν κάτω θεῶν τὴν γυναῖκα αἰτοῦντα. Ὁ δὲ Ὀρφεύς, ἐμοὶ δοκεῖν, ὑπερεβάλετο ἐπῶν κόσμῳ τοὺς πρὸ αὐτοῦ, καὶ ἐπὶ μέγα ἦλθεν ἰσχύος οἷα πιστευόμενος εὑρηκέναι τελετὰς θεῶν καὶ ἔργων ἀνοσίων καθαρμοὺς νόσων τε ἰάματα καὶ τροπὰς μηνιμάτων θείων. Τὰς δὲ γυναῖκας τῶν Θρᾳκῶν ἐπιβουλεύειν μέν οἱ θάνατον, ὅτι σφῶν τοὺς ἄνδρας ἀκολουθεῖν ἔπεισεν αὐτῷ πλανωμένῳ, φόβῳ δὲ τῶν ἀνδρῶν οὐ τολμᾶν· ὡς δὲ ἐνεφορήσαντο οἴνου, ἐξεργάζονται τὸ τόλμημα, καὶ τοῖς ἀνδράσιν ἀπὸ τούτου καθέστηκε μεθυσκομένους ἐς τὰς μάχας χωρεῖν. Εἰσὶ δὲ οἱ φασι κεραυνωθέντι ὑπὸ τοῦ θεοῦ συμβῆναι τὴν τελευτὴν Ὀρφεῖ· κεραυνωθῆναι δὲ αὐτὸν τῶν λόγων ἕνεκα ὧν ἐδίδασκεν ἐν τοῖς μυστηρίοις οὐ πρότερον ἀκηκοότας ἀνθρώπους. Ἄλλοις δὲ [προ]ειρημένα ἐστὶν ὡς προαποθανούσης οἱ τῆς γυναικὸς ἐς τὸ Ἄορνον δι᾽ αὐτὴν τὸ ἐν τῇ Θεσπρωτίδι

ἀφίκετο· εἶναι γὰρ πάλαι νεκυομαντεῖον αὐτόθι· νομί-
ζοντα δὲ οἱ ἕπεσθαι τῆς Εὐρυδίκης τὴν ψυχήν, ὡς ἁ-
μαρτόντα ὡς ἐπεστράφη, αὐτόχειρα αὑτοῦ ὑπὸ λύπης
αὐτὸν γενέσθαι. λέγουσι δὲ οἱ Θρᾷκες, ὅσαι τῶν ἀηδό-
νων ἔχουσι νεοσσιὰς ἐπὶ τῷ τάφῳ τοῦ Ὀρφέως, ταύτας
ἥδιον καὶ μεῖζόν τι ᾄδειν. Μακεδόνων δὲ οἱ χώραν
τὴν ὑπὸ τὸ ὄρος τὴν Πιερίαν ἔχοντες καὶ πόλιν Δῖον
φασὶν ὑπὸ τῶν γυναικῶν γενέσθαι τὴν τελευτὴν
ἐνταῦθα τῷ Ὀρφεῖ. ἰόντι δὲ ἐκ Δίου τὴν ἐπὶ τὸ ὄρος
καὶ στάδια προεληλυθότι εἴκοσι κίων τέ ἐστιν ἐν δεξιᾷ
καὶ ἐπίθημα ἐπὶ τῷ κίονι ὑδρία λίθου· ἔχει δὲ τὰ ὀστᾶ
τοῦ Ὀρφέως ἡ ὑδρία, καθὰ οἱ ἐπιχώριοι λέγουσι.
4 Ῥεῖ δὲ καὶ ποταμὸς Ἑλικών· ἄχρι σταδίων ἑβδομή-
κοντα πέντε προελθόντι τὸ ῥεῦμα ἀφανίζεται τὸ ἀπὸ
τοῦδε κατὰ τῆς γῆς· διαλιπὸν δὲ μάλιστα δύο καὶ εἴκοσι
στάδια ἄνεισι τὸ ὕδωρ αὖθις, καὶ ὄνομα Βαφύρας ἀντὶ
Ἑλικῶνος λαβὼν κάτεισιν ἐς θάλασσαν ναυσίπορος.
Τοῦτον οἱ Διασταὶ τὸν ποταμὸν ῥεῖν διὰ παντὸς
ὑπὲρ γῆς τὰ ἐξ ἀρχῆς φασι, τὰς γυναῖκας δὲ αἳ τὸν Ὀρ-
φέα ἀπέκτειναν ἐναπονίψασθαι οἱ θελῆσαι τὸ αἷμα,
καταδῦναί τε ἐπὶ τούτῳ τὸν ποταμὸν ἐς τὴν γῆν, ἵνα
δὴ μὴ τοῦ φόνου καθάρσια τὸ ὕδωρ παράσχηται. 5 Ἠκου-





σα δὲ καὶ ἄλλον ἐν Λαρίσσῃ λόγον, ὡς ἐν τῷ Ὀλύμπῳ πόλις
οἰκοῖτο Λίβηθρα, ἣ ἐπὶ Μακεδονίας τέτραπται τὸ ὄρος,
καὶ εἶναι οὐ πόρρω τῆς πόλεως τὸ τοῦ Ὀρφέως μνῆμα· ἀφι-
κέσθαι δὲ τοῖς Λιβηθρίοις παρὰ τοῦ Διονύσου μάντευ-
μα ἐκ Θρᾴκης, ἐπειδὰν ἴδῃ τὰ ὀστᾶ τοῦ Ὀρφέως ἥλιος, τη-
νικαῦτα ὑπὸ συὸς ἀπολεῖσθαι Λιβηθρίοις τὴν πόλιν. οἱ μὲν
δι' οὐ μεγάλης φροντίδος ἐποιοῦντο τὸν χρησμόν, οὐδὲ ἄλλο
τι θηρίον οὕτω μέγα καὶ ἄλκιμον ἔσεσθαι νομίζοντες
ὡς ἑλεῖν σφίσι τὴν πόλιν, συῒ δὲ θρασύτητος μετεῖναι
μᾶλλον ἢ ἰσχύος. ὡς δὲ ἐδόκει τῷ θεῷ, συνέβαινε σφί-
σι τοιάδε. ποιμὴν περὶ μεσοῦσαν μάλιστα τὴν ἡμέραν
ἐπικλίνας αὑτὸν πρὸς τοῦ Ὀρφέως τὸν τάφον, ὁ μὲν ἐκά-
θευδεν ὁ ποιμήν, ἐπῄει δέ οἱ καὶ καθεύδοντι ἔτι ᾄδειν
τῶν Ὀρφέως καὶ μέγα καὶ ἡδὺ φωνεῖν. οἱ οὖν ἐγγύτατα
νέμοντες ἢ καὶ ἀροῦντες, ἕκαστοι τὰ ἔργα ἀπολείποντες,
ἠθροίζοντο ἐπὶ τοῦ ποιμένος τὴν ἐν τῷ ὕπνῳ ᾠδήν,
καί ποτε ὠθοῦντες ἀλλήλους καὶ ἐρίζοντες ὅστις ἐγγύτατα
ἔσται τῷ ποιμένι ἀνατρέπουσι τὸν κίονα, καὶ κατεά-
γη τῶν ὀστῶν τοῦ Ὀρφέως λοιπόν. Αὐτίκα δὲ ἐν τῇ
ἐπερχομένῃ νυκτὶ ὅ τε θεὸς κατέχει πολὺ ἐκ τοῦ-
οὐρανοῦ τὸ ὕδωρ, καὶ ὁ ποταμὸς ὁ Σῦς, τῶν δὲ περὶ
τὸν Ὄλυμπον χειμάρρων καὶ ὁ Σῦς ἐστιν, τότε οὖν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Ὀρφεύς.

ὕδει ὁ ποταμὸς κατέβαλε μὲν τὰ τείχη Λιβηθρίων, θεῶν δὲ ἱερὰ καὶ οἰκίας ἀνέτρεψεν ἀνθρώπων, ἀπέπνιξε δὲ τούς τε ἀνθρώπους καὶ τὰ ἐν τῇ πόλει ζῷα ὁμοίως τὰ πάντα. ἀπολομένων δὲ ἤδη Λιβηθρίων, τοὺς οἱ ἐν Δίῳ Μακεδόνες, καθά γε δὴ λόγος τοῦ Λαρισαίου ξένου, ἐς τὴν ἑαυτῶν τὰ ὀστᾶ κομίσαι τοῦ Ὀρφέως. ὅστις δὲ περὶ ποιήσεως ἐπολυπραγμόνησεν ἤδη, τοὺς Ὀρφέως ὕμνους οἶδεν ὄντας ἕκαστόν τε αὐτῶν ἐπὶ βραχύτατον καὶ τὸ σύμπαν οὐκ ἐς ἀριθμὸν πολὺν πεποιημένους. οἱ Λυκομίδαι δὲ ἴσασί τε καὶ ἐπᾴδουσι τοῖς δρωμένοις. κόσμῳ μὲν δὴ τῶν ἐπῶν δευτερεῖα φέροιντο ἂν μετά γε Ὁμήρου τοὺς ὕμνους, τιμῆς δὲ ἐς τὸ θεῖον καὶ ἐς πλέον ἐκείνου ἥκουσι

# Ὀρφεύς

.. Ὠλῆνος δὲ ὕστερα Πάμφως τε ἔπη καὶ Ὀρφεὺς ἐποίησαν· καὶ σφίσιν ἀμφοτέροις πεποιημένα ἐστὶν ἐς Ἔρωτα, ἵνα ἐπὶ τοῖς δρωμένοις Λυκομίδαι καὶ ταῦτα ᾄδωσιν· ἐγὼ δὲ ἐπελεξάμην *** ἀνδρὶ ἐς λόγους δᾳδουχοῦντι. καὶ τῶνδε μὲν οὐ πρόσω ποιήσομαι μνήμην. Ἡσίοδον δὲ ἢ τὸν Ἡσιόδῳ Θεογονίαν ἐσποιήσαντα οἶδα γράψαντα ὡς Χάος πρῶτον, ἐπὶ δὲ αὐτῷ Γῆ τε καὶ Τάρταρος καὶ Ἔρως γένοιτο. Σαπφὼ δὲ ἡ Λεσβία πολλά τε καὶ οὐχ ὁμολογοῦντα ἀλλήλοις ἐς Ἔρωτα ᾖσε. ...

Παυσανία Βοιωτικά Βιβ. IX XXVII. Σελ. 220.

Δήμητρα δὲ Χθονίαν Λακεδαιμόνιοι μὲν σέβειν φασὶ παραδόντος σφίσιν Ὀρφέως, δόξῃ δὲ ἐμῇ διὰ τὸ ἱερὸν τὸ ἐν Ἑρμιόνι κατέστη καὶ τούτοις Χθονίαν νομίζειν Δήμητρα. . .

Λακωνικά Βιβ. III. XIV. 5 Σελ. 227

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## Ορφεύς.

Κορινθιακά · Βιβ. II · Κ. ΧΧ. 2 · σελ. 171

...θεών δε Αιγινήται τιμώσιν Εκάτην μάλιστα και τελετήν άγουσιν ανά παν έτος Εκάτης, Ορφέα σφίσι τον Θράκα καταστήσασθαι την τελετήν λέγοντες. του περιβόλου δε εντός ναός εστι. ξόανον δε έργον Μύρωνος, ομοίως εν πρόσωπόν τε και το λοιπόν σώμα.

Λακωνικά · Βιβ. Γ' · XIII. 2 · σελ. 224

Λακεδαιμονίοις δε απαντικρύ της Ολυμπίας Αφροδίτης εστί ναός Κόρης Σωτείρας· ποιήσαι δε τον Θράκα Ορφέα λέγουσιν, οι δε τον Άβαριν αφικόμενον εξ Υπερβορέων.

Ηλιακών · Β. XX. 18 · σελ. 472

... Ανήρ δε Αιγύπτιος Πέλοπα έφη παρά Θηβαίου λαβόντα Αμφίονος κατορύξαι τι ενταύθα ένθα καλούσι τον Ταράξιππον, και υπό του κατορυγέντος ταραχθήναι τε τας Οινομάου ίππους. ταράσσεσθαι δε και ύστερον τους πάντοτε ίππους. τούτον δε έφη ο Αιγύπτιος είναι μεν Αμφίονα, είναι δε και τον Θράκα Ορφέα μαγεύσαι δεινούς, και Αμφίονι ες τας του τείχους οικοδομίας τας πέτρας.



## Ορφεύς.

Βοιωτικά · IX. § XVII · σελ. 216

Τω δε τάφω τω Αμφίονος χώματι λίθοι, οι κάτωθεν υποβέβληνται, κείμενοι άλλως εργασμένοι προς το ακριβέστατον, ταύτας είναι φασι τας πέτρας αι τη ωδή Αμφίονος ηκολούθησαν. τοιαύτα δε έτερα λέγεται και περί Ορφέως, ως κιθαρωδούντι έποιτο αυτώ τα θηρία.

Φωκικά · Βιβ. Χ · VII. 2 · σελ. 281

Αρχαιότατον δε αγώνισμα γενέσθαι μνημονεύουσι και εφ' ω πρώτον άθλα έθεσαν, άσαι ύμνον ες τον θεόν· και ήσε και ενίκησεν άδων Χρυσόθεμις εκ Κρήτης. ... Χρυσοθέμιδος δε ύστερον Φιλάμμωνά τε ωδή μνημονεύουσι νικήσαι και επ' εκείνω Θάμυριν τον Φιλάμμωνος. Ορφέα δε σεμνολογία τη επί τελεταίς και υπό φρονήματος του άλλου και Μουσαίον τη ες πάντα μιμήσει του Ορφέως ουκ εθελήσαί φασιν αυτούς επί αγώνι μουσικής εξετάζεσθαι.

# Ὀρφεύς.

Λακωνικά Βιβ. Γ' XX §§5-6 ... Πάρεστι δὲ τὸ μεταξὺ τῆς Εὐόρα θήρας ὀνομαζομένης Λυτῶ φασιν Ἀπόλλων αἰτεῖν τὸ Ταΰγετον. *** Δήμητρος ἐπίκλησιν Ἐλευσινίας ἐστὶν ἱερόν. ἐνταῦθα Ἡρακλέα Λακεδαιμόνιοι κρυφθῆναί φασιν ὑπὸ Ἀσκληπιοῦ τὸ τραῦμα ἰώμενον. καὶ Ὀρφέως ἐστὶν ἐν αὐτῷ ξόανον, Πελασγῶν ὥς φασιν ἔργον.

Ηλιακῶν Α' Βιβ. V XXVI ... Παρὰ δὲ τὸ Ἀγῶνος τὸν φέροντα Διόνυσος καὶ ὁ Θρᾷξ ἐστὶν Ὀρφεὺς καὶ ἄγαλμα Διός, ὃ δὴ ὀλίγῳ πρότερον ἐπεμνήσθην. ταῦτα ἔργα ἐστὶν Ἀργείου Διονυσίου

Ἀττικά Βιβ. Α' XIV §§2-3

Ὀρφέως ἔπη.

... ἔπη δὲ ἄλλα Μουσαίου μέν, ἃ δὴ Μουσαίου καὶ ταῦτα, Τριπτόλεμον παῖδα Ὠκεανοῦ καὶ Γῆς εἶναι, Ὀρφέως δέ, οὐδὲ ταῦτα Ὀρφέως ὄντα, ὡς ἐμοὶ δοκεῖν, Εὐβουλεῖ καὶ Τριπτολέμῳ Δυσαύλην πατέρα εἶναι, μηνύσασι δέ σφισι περὶ τῆς παιδὸς δοθῆναι παρὰ Δήμητρος σπεῖραι τοὺς καρπούς.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Ὀρφεύς. Ὀρφικά.

Διαβᾶσι δὲ τὸν Κηφισὸν βωμός ἐστιν ἀρχαῖος Μειλιχίου Διός. - - - - - - . . . ᾠκοδόμηται δὲ κατὰ τὸν αὐτὸν τόπον ναὸς οὐ μέγας, καλούμενος Κυαμίτου· σαφὲς δὲ οὐδὲν ἔχω λέγειν, εἴτε πρῶτος κυάμους ἔσπειρεν οὗτος, εἴτε τινὰ ἐπεφήμισαν ἥρωα, ὅτι τῶν κυάμων ἀνενεγκεῖν οὐκ ἔστι σφίσιν ἐς Δήμητρα τὴν εὕρεσιν. ὅστις δὲ ἤδη τελετὴν Ἐλευσῖνι εἶδεν ἢ τὰ καλούμενα ἐπελέξατο Ὀρφικά, οἶδεν ὃ λέγω.

Παυσανίας Ἀττικὰ βιβλ. Α. XXXVII. 4. Σελ. 84

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ